σοῦνται· παράλληλα ἄρα ἐστὶ τὰ ΓΔ, ΕΖ ἐπίπεδα·
πρὸς ἃ ἐπίπεδα ἄρα ἡ αὐτὴ εὐθεῖα ὀρθή ἐστι· πα
ράλληλά ἐστι τὰ ἐπίπεδα· ὅπερ ἔδει δεῖξαι:-

ιε Ἐὰν δύο εὐθεῖαι ἁπτόμεναι ἀλλήλων παρὰ δύο εὐθείας
ἁπτομένας ἀλλήλων ὦσιν μὴ ἐν τῷ αὐτῷ ἐπιπέ
δῳ οὖσαι· παράλληλά ἐστι τὰ δι᾽ αὐτῶν ἐπίπεδα·
δύο γὰρ εὐθεῖαι ἁπτόμεναι ἀλλήλων αἱ ΑΒ, ΒΓ παρὰ
δύο εὐθείας ἁπτομένας ἀλλήλων τὰς ΔΕ, ΕΖ ἔστωσαν
μὴ ἐν τῷ αὐτῷ ἐπιπέδῳ οὖσαι· λέγω ὅτι ἐκβαλλό
μενα τὰ δι᾽ αὐτῶν ΑΒ, ΒΓ, ΔΕ, ΕΖ ἐπίπεδα οὐ συμπε
σοῦνται ἀλλήλοις· ἤχθω γὰρ ἀπὸ τοῦ Β σημείου ἐπὶ



τὸ διὰ τῶν ΔΕ, ΕΖ ἐπίπεδον κάθετος ἡ ΒΗ· καὶ συμβαλ
λέτω τῷ ἐπιπέδῳ κατὰ τὸ Η σημεῖον· καὶ διὰ τοῦ Η
τῇ μὲν ΕΔ παράλληλος ἤχθω ἡ ΗΘ, τῇ δὲ ΕΖ ἡ
ΗΚ· καὶ ἐπεὶ ἡ ΒΗ ὀρθή ἐστι πρὸς τὸ διὰ τῶν ΔΕ, ΕΖ ἐπί
πεδον· καὶ πρὸς πάσας ἄρα τὰς ἁπτομένας αὐτῆς
εὐθείας καὶ οὔσας ἐν τῷ διὰ τῶν ΔΕ, ΕΖ ἐπιπέδῳ ὀρ
θὰς ποιήσει γωνίας· ἅπτεται δὲ αὐτῆς ἑκατέ
ρα τῶν ΗΘ, ΗΚ οὖσαι ἐν τῷ διὰ τῶν ΔΕ, ΕΖ ἐπιπέδῳ·
ὀρθὴ ἄρα ἐστὶν ἑκατέρα τῶν ὑπὸ ΒΗΘ, ΒΗΚ γωνι
ῶν· καὶ ἐπεὶ παράλληλός ἐστιν ἡ ΒΑ τῇ ΗΘ, αἱ ἄρα
ὑπὸ ΗΒΑ, ΒΗΘ γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν· ὀρ
θὴ δὲ ἡ ὑπὸ ΒΗΘ· ὀρθὴ ἄρα καὶ ἡ ὑπὸ ΗΒΑ· ἡ ΗΒ ἄ
ρα τῇ ΒΑ πρὸς ὀρθάς ἐστιν· διὰ τὰ αὐτὰ δὴ ἡ ΒΗ
καὶ τῇ ΒΓ ἐστὶ πρὸς ὀρθάς· ἐπεὶ οὖν εὐθεῖα ἡ ΒΗ δυ
σὶν εὐθείαις ταῖς ΒΑ, ΒΓ τεμνούσαις ἀλλήλας πρὸς

ὀρθὰς ἐφέστηκεν· ἡ ΗΒ ἄρα καὶ τῷ διὰ τῶν ΒΑ, ΒΓ
ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν· ἐστὶ δὲ καὶ τῷ διὰ τῶν
ΔΕ, ΕΖ ἐπιπέδῳ ὀρθή· ἡ ΒΗ ἄρα πρὸς ἑκάτε
ρον τῶν διὰ τῶν ΑΒ, ΒΓ, ΔΕ, ΕΖ ἐπιπέδων ὀρθή ἐστιν·
πρὸς ἃ δὲ ἐπίπεδα ἡ αὐτὴ εὐθεῖα ὀρθή ἐστι, πα
ράλληλά ἐστι τὰ ἐπίπεδα· παράλληλον ἄρα ἐστὶ
τὸ διὰ τῶν ΑΒ, ΒΓ ἐπί
πεδον τῷ διὰ τῶν
ΔΕ, ΕΖ· ἐὰν ἄρα δύο
εὐθεῖαι ἁπτόμεναι
ἀλλήλων παρὰ δύο
εὐθείας ἁπτομένας
ἀλλήλων ὦσιν μὴ
ἐν τῷ αὐτῷ ἐπιπέ



δῳ· παράλληλά ἐστι τὰ δι᾽ αὐτῶν ἐπίπεδα· ὅπερ
ἔδει δεῖξαι:-

ις Ἐὰν δύο ἐπίπεδα παράλληλα ὑπὸ ἐπιπέδου τινὸς
τέμνηται· αἱ κοιναὶ αὐτῶν τομαὶ παράλληλοί εἰ
σιν· δύο γὰρ ἐπίπεδα παράλληλα τὰ ΑΒ, ΓΔ ὑ
πὸ ἐπιπέδου τοῦ ΕΖΗΘ τεμνέσθω· κοιναὶ δὲ αὐ
τῶν τομαὶ ἔστωσαν αἱ ΕΖ, ΗΘ· λέγω ὅτι παράλλη
λός ἐστιν ἡ ΕΖ τῇ ΗΘ· εἰ γὰρ μή, ἐκβαλλόμεναι αἱ
ΕΖ, ΗΘ ἤτοι ἐπὶ τὰ Ζ, Θ μέρη ἢ ἐπὶ τὰ Ε, Η συμπεσοῦν
ται· ἐκβεβλήσθωσαν πρότερον ὡς ἐπὶ τὰ Ζ, Θ
μέρη καὶ συμπιπτέτωσαν κατὰ τὸ Κ· καὶ ἐπεὶ ἡ ΕΖΚ
ἐν τῷ ΑΒ ἐστὶν ἐπιπέδῳ· καὶ πᾶσαι ἄρα αἱ ἐπὶ τῆς

BIBLIOTHECA BODLEIANA